Λαβοῦσα.] παραλαβοῦσα πρὸς τὴν βοήθειαν. Φράσω τοῖς πρυτάνεσιν.] ἀδικήματα τούτου, ἵνα δίκην λάβωσι, καὶ οὕτως τιμωρηθήσηται.

BISETVS. Τυννοῦτο ὄν] μικρόν. οὕτω μικρόν. δεικτικῶς. φιλότεκνός τις εἶ φύσει] παίζει πρὸς τὴν φυσικὴν στοργήν, καὶ τὴν φύσει τῆς γυναικὸς φιλοποσίαν καὶ φιλοινίαν. περὶ δὲ τοῦ ἀσκοῦ, ὡς περί τινος κόρης ταῦτα γέλωτος χάριν λέγεται. Τὸ σφαγεῖον] σφαγεῖον τὸ τοῦ αἵματος δεκτικὸν ἀγγεῖον, ὅπερ ὁ ποιητὴς ἀμνεῖον εἶπε. σφαγεῖον δὲ, εἴτε σφάγιον λέγεται παρὰ τὸ σφάζω, A εἴτε σφάττω, μ. ξ. ω. α. β. ἔσφαγον, ὅθεν καὶ σφαγή, ἡ φονή, εἴτε φόνος, ὅτι τῶν σφαζομένων τετραπόδων, καὶ ἱερείων αἷμα δέχεται. Σ. Εὐσταθ. Τῆς ἱερείας] ἱέρεια, θηλυκὸν τοῦ ἱερεύς. Πλούταρχος. ἡ τῆς Πολιάδος ἱέρεια. καὶ Ηρόδοτος. τάς τε Ἑστίας ἱερείας ζώσας κατώρυττεν. διὰ δὲ τούτων, τουτὶ τὸ δέρμα, δηλοῖ τὸν ἀσκὸν ἤδη διάκενον, εἴτε κενωθέντα, παίζων πρὸς τοὺς τὰ ἱερεῖα σφάζοντας. Μίκα] κύριον ὄνομα, ὡς καὶ τὸ Μανία. ἐξεκόρησεν δὲ, τῆς κόρης ἀπεστέρησεν. τοῦ 'ξηρήσατο, τὸ πλῆρες, τοῦ ἐξηρήσατο, ἐξείλετο.

B

Μν. Ἄγε δὴ τίς ἔσται μηχανὴ σωτηρίας
Τίς πεῖρα, τίς ἐπίνοια ὁ μὲν γὰρ αἴτιος
Κἄμ' ἐσκυλίσας ἐς τοιαυτὶ πράγματα
Οὐ φαίνετ' οὔπω. φέρε τίν' οὖν ἄγγελον
Πέμψαιμ' ἐπ' αὐτόν. οἶδ' ἐγὼ καὶ δὴ πόρον
Ἐκ τοῦ Παλαμήδους. ὡς ἐκεῖνος τὰς πλάτας
Ῥίψω γράφων. ἀλλ' οὐ πάρεισιν αἱ πλάται.
Πόθεν οὖν γένοιντ' ἄν μοι πλάται. πόθεν;
C Τί δ' ἂν εἰ ταδὶ τ' ἀγάλματ' ἀντὶ τῶν πλατῶν
Γράφων διαρρίπτοιμι. βέλτιον πολύ.
Ξύλον γέ τοι καὶ ταῦτα, κἀκεῖν' ἦν ξύλον.
Ὦ χεῖρες ἐμαί.
Ἐγχειρεῖν χρὴ ἔργῳ πορίμῳ.
Ἄγε δὴ πινάκων ξεστῶν δέλτοι
Δέξασθε σμίλης ὁλκοὺς
Κήρυκας ἐμῶν μόχθων. οἴμοι
D Τουτὶ τὸ ῥῶ μοχθηρόν.
Χώρει. χώρει. ὁποίαν αὔλακα
Βάσκετ' ἐπείγετε πάσας καθ' ὁδοὺς
Κείνᾳ. ταύτᾳ ταχέως χρή.

MN. *Age verò, quis erit mod⁹ ſalutis:* *(enim,*
Quæ experiētia & conat⁹, quæ excogitatio? autor
Et qui me inuoluit in talia negocia, *(cium*
Non apparet nondum. age quémnam igitur nū-
Mitterem ad ipſum, noui ego & iam viam.
Ex Palamede ad illum remos
Mittam ſcribens, ſed non adſunt remi.
Vnde igitur fierent mihi remi, vnde?
C *Quid verò, ſi ſtatuas & ſimulacra pro remis*
Scribens tranſmitterem? melius multo eſſet.
Lignum quidem & hæc, & illa erant lignum.
O manus meæ,
Aggredi oportet re expedita,
Age verò tabellarum leuigatarum paginæ,
Accipite cultri ſutorij tractus & verſus,
Nuncios meorum laborum. hei mihi,
D *Hæc rho litera praua eſt.*
Vade, vade, qualicunque via & vlco.
Ite, feſtinate per omnes exitus viarum,
Et illa & hac citò oportet.

BIS. Ἄγε δή] ταῦτα Μνησίλοχος ὑφειμένῃ φωνῇ μεθ' ἑαυτοῦ μόνου, ὡς περὶ τοῦ τρόπου τῆς σωτηρίας βουλευόμενος λέγει. πόρον δὲ, τὸν τῆς φυγῆς καὶ σωτηρίας τρόπον.

BOVR. Μηχανή.] τὸ μηχάνημα, πόρισμα, εὐπόρημα, εὕρημα, τὸ πείραμα, τὶς ἐπινόησις καὶ ἐπίσκεψις. Ἐγκυλίσας] ὁ Εὐριπίδης ἐγκυλινδήσας, καὶ ἐμβαλὼν καὶ ἐμμίξας τούτοις τοῖς κινδύνοις, ἀπὸ τοῦ κυλίειν, τουτέστι κυλινδεῖν, ἐπιφέρειν. Οὐ φαίνεται.] ἀναφαίνεταί πω, οὔπω περιφανής ἐστι, καὶ πίστιν οὐ διασώζει, καὶ διαφυλάττει. Πόρον.] τὴν ὁδόν. Ἐκ τοῦ παλαμήδους.] ἐνταῦθα ἄρχεται μηχανᾶσθαί τι, ὥστε διασώζειν ἑαυτὸν ὁ Μνησίλοχος, καὶ πρῶτον πῶς γράψει καὶ ἀναγγελεῖ τὸν ἑαυτοῦ κίνδυνον τῷ Εὐριπίδῃ, ὥσπερ φησὶ παλαμήδης. ἀπορρίψω γράφων τὰς κώπας, τουτέστι πλάτας. Αἱ πλάται.] αἱ κῶπαι. καὶ εἶδος πλοίου ὥσπερ παλαμήδης φησὶν, ῥίψω γράφων τὰς πλάτας ναυπλίῳ, τουτέστιν ὥσπερ ὁ οἴαξ τῷ ναυπλίῳ τῷ πατρὶ, τὸν παλαμήδην ἐν διαφόροις πλάταις γράφει, καὶ ῥίπτει εἰς θάλασσαν, ὥστε μιᾷ γέ τινι ναυπλίῳ περιπεσεῖν. οὗτος δὲ παλαμήδης ναυπλίου, καὶ κλυμένης τέκνον ὢν ἀργεῖος ἦν ἐποποιὸς, καὶ ἀνέψιος τοῦ βασιλέως Ἀγαμέμνονος πρὸς πατρὸς, ὅστις ἔσχεν εὐφυῶς πρὸς φιλοσοφίαν καὶ ποιητικήν. ἠφανίσθη δὲ τὰ τοῦ παλαμήδους ποιήματα διὰ βασκανίαν ὑπὸ ὁμήρου. ἅπτεται γὰρ καὶ μεγίστων ἀνδρῶν ὁ φθόνος. Πινάκων ξεστῶν.] ξυσθεισῶν, ὡμαλισμένων. ἀπὸ τοῦ ξέω, ὁμαλίζω. Δέλτοι.] πινακίδιον, τιλάριον, χεδάριον. Σμίλης ὁλκούς.] τουτέστι γραφείου τὰ σημεῖα, τῶν γραμμάτων. κατὰ μεταφοράν, σμίλη γὰρ κυρίως ἐστὶν ἐργαλεῖον σκυτευτικόν. ὅθεν καὶ τὰ σμιλεύματα λέγεται τὰ ἐκβαλλόμενα ὑπὸ σμίλης καὶ διαγλύμματα ἐρεθίσματά τε. Κήρυκας.] ἀγγέλους. Τουτὶ τὸ ῥῶ μοχθηρόν.] τουτέστιν, οὐ καλῶς περιγραφὲν, οὔτε περιχαραχθέν. καὶ γὰρ ἡ σμίλη ἦν ἀνάρμοστος. καὶ ἀνεπιτήδειος, πρὸς τὸ γλύφεσθαι καὶ ἐγχαράσσεσθαι τὰ ῥήματα. Βάσκετε.] βαίνετε.

Ἐπείγετε.] σπουδάζετε δὴ τὰ γράμματα, σπεύδετε διὰ πασῶν ὁδῶν. Κείνα.] καὶ ἐκείνην, καὶ ταύτην ὁδὸν δεῖ ταχέως σπεύδειν καὶ ἐπείγεσθαι. ταῦτα δὲ πάντα ἐστὶ ῥήματα τοῦ Μνησιλόχου πρὸς τὰ γράμματα ἐγχαραχθέντα. ἐπειδήπερ οὐκ ἦν αὐτῷ ἀνὴρ ἢ φίλος πιστὸς, ᾧ τινι τότε οἷός τ' ἦν πιστεύειν τὰ ἑαυτοῦ ἀπόρρητα.

E

BIS. Ἐκ τοῦ Παλαμήδους] Παλαμήδης, υἱὸς Ναυπλίου. περὶ δὲ τούτων οὕτω Σουΐδας. Οἶδα δ' ἐγὼ καὶ δὴ πρότερον ἐκ τοῦ Παλαμήδους, καὶ τὰ ἑξῆς. ἀλλὰ καὶ παρὰ τῷ Σουΐδᾳ γράφεται πλέον ὡς ἐνταῦθα παρὰ τῷ ποιητῇ ἔχομεν. ὁ δὲ Παλαμήδης λέγεται τῷ πατρὶ Ναυπλίῳ τὸν κίνδυνον, ἐν ᾧ κατείχετο διὰ τοὺς διαβόλους, καὶ συκοφάντας τῶν Ἑλλήνων, μάλιστα δὲ διὰ τὸν Ὀδυσσέα, γράψαι ἐν διαφόροις πλάταις, καὶ εἰς τὴν θάλασσαν αὐτὰς ῥίψαι, ὥστε μιᾷ γέ τινι τὸν πατέρα ἐντυχεῖν, καὶ τὸν μέγιστον τοῦ τέκνου κίνδυνον μαθεῖν, καὶ κατὰ F δύναμιν αὐτῷ βοηθεῖν. τὰ οὖν τοῦ Μνησιλόχου δεῦρο τείνει, καὶ αὐτὸς ὅμοιόν τι ποιεῖν ἐπιθυμεῖ, ἵνα τὸν ἑαυτοῦ κίνδυνον τῷ Εὐριπίδῃ ἀπόντι διὰ ταχέων δηλώσῃ, καὶ ἐκ τῆς φυλακῆς ἐκφεύγῃ. Πόθεν οὖν γένοιντο] οὗτος ὁ στίχος ὅλῳ ποδὶ μεμειωμένος σκάζει. οὕτω μέντοι διορθοῦσθαι δύναται. ,, Πόθεν οὖν γένοιντ' ἄν μοι πλάται; πόθεν πλάται; ἢ ,, Πόθεν οὖν γένοιντ' ἄν μοι πλάται; πόθεν ξύλον; Ξύλον γέ τοι καὶ ταῦτα] ἐκ τούτων φανερὸν ὅτι ἐν τοῖς θεάτροις ξύλινά τιν' ἀγάλματα πάλαι ἐτίθεντο. Ὦ χεῖρις ἐμαί] στίχοι G μικτοὶ θ'. τὸ δὲ ἔργῳ πορίμῳ, τουτέστιν ἄνυσιν, καὶ ἐπίνοιαν ἔχοντι κατὰ Σουΐδαν. ἀλλ' ἴσως πόριμον ἔργον νῦν καλεῖται, τὸ πορίζεσθαι, καὶ ποιεῖσθαι δυνάμενον. Ἡσύχιος δὲ, πόριμον, εὐπόριστον, πορευτόν. Σμίλης ὁλκοὺς] ἀντὶ τοῦ, τοῦ γραφείου τὰ σημεῖα τῶν γραμμάτων. Σ. σμίλη, ἐργαλεῖον, γραφεῖον, ᾧ τὰ γράμματα γράφοντες ἕλκομεν, καὶ χαρακτηρίζομεν. ἀνθ' ὧν καὶ σμίλης ὁλκοὺς, οἱονεὶ ὁλκάς, ἢ ἕλξεις τινὰς δηλῶν εἶπεν.